# ΤΡΟΠΑΡΙΑ ΤΗΣ ΠΑΝΑΓΙΑΣ ΓΙΑ ΤΗΝ ΠΑΝΔΗΜΙΑ

*(Από το Θεοτοκάριο του Αγίου Νικοδήμου, 1795)*
*Να τα διαβάζουμε καθημερινά*

ΝΑΜΑΤΩΝ πηγήν σε πρεσβευτικῶν, γινώσκοντες πάντες, ἀναβλύζουσαν τοῖς πιστοῖς, τῶν ψυχῶν τὴν ῥῶσιν καὶ σωμάτων, Θεοκυῆτορ ἀπαύστως δοξάζομεν.

Μὴ μετελθέτω, λοιμώδης νόσος Παρθένε σὸν λαόν· ἀλλ᾽ ὡς φιλεύσπλαγχνος ἄτρωτον φύλαξον· σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον, τῷ κόσμῳ ἐξανέτειλας.

Λαὸς καὶ κλῆρος προσπίπτει ἁγνὴ ὁ Χριστώνυμος, οἰκετικῶς ἐλέει τῷ σῷ, καὶ τὴν σὴν βοήθειαν νῦν ἐπικαλεῖται, λοιμώδους νόσου, θᾶττον λυτρωθῆναι δεινῆς, λιμοῦ τε καὶ δυσμενῶν ἐφόδου· νεύσει γὰρ μόνῃ τῇ σῇ, ἀβλαβὴς συντηρηθήσεται.

Λεπρωθέντα νοῦν καὶ τὴν ψυχήν, κάθαρόν με Δέσποινα, ὡς τὸν λεπρὸν ὁ υἱός σου ἐκάθηρε· θέλω καθαρίσθητι, ἐπειποῦσά μοι· καὶ γὰρ πάντα τῷ λόγῳ σου, πείθεται τεκούσης, λόγον τοῦ Πατρὸς τὸν ὁμοούσιον.

Ιαμάτων ῥεῖθρα, βλύζεις Θεοτόκε Παρθένε, καὶ παύεις νοσήματα, καὶ παρέχεις τὴν εὐφροσύνην τοῖς πίστει ὑμνοῦσί σε· διὸ τὴν νοσοῦσαν ἁμαρτίαις, ἴασαι ψυχήν μου, ἀγαθὴ καὶ σῶσόν με.

Αγιος καρπὸς Ἰωακεὶμ ἐκ ῥίζης, καὶ Ἄννης ἐβλάστησας ἐκ μήτρας Μήτηρ Θεοῦ· ὅθεν ὁ κόσμος πλουτεῖ πηγὴν ἐλέους, καὶ οἱ ἀσθενοῦντες καρποῦνται τὴν ὑγείαν.

Ιάσεων χαῖρε Κόσμῳ πηγὴν ἡ ἐκβλύσασα· χαῖρε λύπην λύσασα τῶν Προπατόρων τῷ τόκῳ σου· ἀλλ᾽ ὡς προστασία μου, μανίας ῥῦσαι καὶ βλάβης ἐχθραινόντων μοι.

Λύσις ἀρᾶς, παντευλόγητε χαῖρε ἁμαρτανόντων, χαῖρε ἱλαστήριον χαῖρε βάθος, τοῦ θείου ὕψους δυσανάβατον, χαῖρε ἀσθενούντων Θεοχαρίτωτε, ἴασις ἡμᾶς νοσημάτων ἀπάλλαξον.

Ινα φωναῖς περιχαρῶς, ἀναγγέλωμεν τὰ σὰ πηγὴ ἐλέους, μεγαλεῖα ἐκ νόσου, Παρθενομῆτορ τῇ σῇ, πρεσβείᾳ ἐξελοῦ τὸ χαῖρέ σοι, ἐπιβοωμένους ὑπερευλογημένη.

Στοιχείων κράσιν, πρὸς ὑγιᾶ δούλου τοῦ σοῦ, Κόρη κατάστασιν εὐχαῖς σου ποίησον· σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον, τῷ κόσμῳ ἐξανέτειλας.

**Ι**άσεως πᾶσι δρόσον ἀποστάζεις ἁγνή· τῶν ἰαμάτων ὡς πηγὴ καὶ σωτηρίου κρήνη, καὶ Θεοῦ ποταμὸς πεπληρωμένος ὑδάτων θείων, ἀΰλων ψυχοτρόφων καὶ ζωοποιῶν· ὅθεν κἀμὲ δυσωπῶ σε νοσοῦντα ἴασαι.

**Ρ**ῶσιν ψυχῆς, ῥῶσίν μοι σώματος δώρησαι· ἵνα πράττω καὶ ποιῶ τὸ θέλημα, τοῦ σοῦ Υἱοῦ φόβῳ καὶ χαρᾷ· καὶ γὰρ ἐξισχύεις, ὡς Μήτηρ οὖσα τοῦ Κτίστου σου· καὶ πράττεις ὅσα θέλεις, τοῖς ἐν πίστει καὶ πόθῳ, τῷ ναῷ σου Παρθένε προστρέχουσιν.

**Α**κεσώδυνον γινώσκων σε ἰατρεῖον, ὁ ἀσθενὴς τῷ πνεύματι καὶ σώματι κράζω· ἴασαί με Δέσποινα· ἐλέησον σῶσόν με, σοὶ τὸν προσφυγοντα οἰκετην σου.

**Σ**αρκός μου καὶ ψυχῆς τὰ νοσήματα, ἴασαι δέομαι ἁγνή, τὸν ἰατρὸν ἡ κυήσασα, ψυχῶν ὁμοῦ καὶ σωμάτων, καὶ σῶσόν με ταῖς θείαις πρεσβείαις σου.

**Α**γνὴ ἀπειρόγαμε, χριστιανῶν ἡ ἐλπίς· πτωχῶν ἀντιλήπτρια, τῶν θλιβομένων χαρά· πενθούντων παράκλησις· ῥῦσαί με συσχεθέντα, πειρασμοῖς ἀδοκήτοις· ἴασαί με νοσοῦντα, κατὰ σάρκα καὶ πνεῦμα· πρὸς σὲ γὰρ κατέφυγον μόνη πανάχραντε.

**Τ**ῆς ἀσθενούσης μου ψυχῆς, τὰς πολλὰς ἀῤῥωστίας, καὶ τὰ τοῦ σώματος ἁγνή, χαλεπώτατα πάθη, ἐπίσκεψαι, καὶ θεραπείας ταχινῆς ἀξίωσον, καὶ τὰς ἁγίας ἐντολάς, ποιεῖν με κατευόδωσον, Θεοῦ τοῦ ἀγαθοῦ ὅπως σε μεγαλύνω.

**Ν**οσοῦντα ψυχὴν καὶ τὸ σῶμα, ἐξ ἀπροσεξίας Θεομῆτορ, τῷ ἐλέει σου με νῦν, ἔγειρον τῆς κλίνης· ὅπως πίστει πάντοτε ἐκβοῶ σοι· χαῖρε τῆς δόξης τὸ τέμενος, δι ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

**Ν**οσηλευόμενος σφόδρα, καὶ κατ' ἀμφοῖν χαλεπῶς, κεκακωμένος Πάναγνε, ψυχῆς τὴν ῥῶσιν ἐκ σοῦ δεξαίμην, ταῖς σαῖς πρεσβείαις καὶ τοῦ σώματος.

**Τ**άχυνον ἐπίσκεψαι, νοσηλευόμενον ἄχραντε, καὶ τῆς δεινῆς, ἀλγηδόνος ῥῦσαι, καὶ παντοίας με θλίψεως.

**Ν**οσοῦντά με πρὸς θάνατον Δέσποινα, τὸν τῆς ψυχῆς καὶ τῶν παθῶν, τῷ πυρετῷ συνεχόμενον, τῶν πρεσβειῶν σου τὸ ὕδωρ, ποτίσασα συντόμως ἀνάστησον.

**Α**ναπτομένη τῶν παθῶν ἡ κάμινος, σπινθῆρας καίοντας, φθοροποιῶν νόσων, καὶ πυρφόρους ἄνθρακας, ἐξῆψε καὶ φλογίζει με, πυρετοῖς λαυροτάτοις· ἀλλ' εἰ δροσίσεις με Δέσποινα, ἴαμα ἡ σὴ δρόσος ἔσται μοι.

**Κ**οίμισον τῶν ὀδυνῶν, ἀκοιμήτῳ σου πρεσβείᾳ Παρθένε, τὰ συνεχῆ καὶ λίαν ἀγριαίνοντα, περιόδους πυρετῶν, καὶ τὰ σφοδρότατα τούτων ῥίγη παῦσον· καὶ γὰρ τὰ ὀστᾶ καταθλῶσί μου.